# ΑΚΟΛΟΥΘΙΑ

## ΤΗΣ ΑΓΙΑΣ ΣΚΕΠΗΣ

## ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ

## ΘΕΟΤΟΚΟΥ,

ΨΑΛΛΟΜΕΝΗ ΤΗι Α΄. ΟΚΤΩΒΡΙΟΥ,

(ᾗ καὶ Λόγοι τινὲς Πανηγυρικοὶ τῆς Θεοτόκου προσετέθησαν).

Συντεθεῖσα μὲν ὑπὸ

**ΙΑΚΩΒΟΥ ΜΟΝΑΧΟΥ ΑΓΙΟΡΕΙΤΟΥ,**

Νῦν δὲ τὸ πρῶτον ἐκδίδοται

ἐπιμελείᾳ καὶ δαπάνῃ

ΤΟΥ ΠΑΝΟΣΙΩΤΑΤΟΥ

**ΑΒΕΡΚΙΟΥ**

ΤΟΥ ΕΚ ΤΟΥ ΙΕΡΟΥ ΚΟΙΝΟΒΙΟΥ

ΤΟΥ ΡΩΣΣΙΚΟΥ.

« Καὶ ἐνετείλατο νεφέλην
« εἰς σκέπην αὐτοῖς. »
(Ψαλμὸς οζ΄.)

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ,
ΤΥΠΟΙΣ ΓΕΩΡΓΙΟΥ ΚΑΡΥΟΦΥΛΛΗ.
(Ὁδὸς Νικία, ἀριθ. 23).
1869

## ΣΤΙΧΟΙ ΠΡΟΣ ΤΗΝ ΘΕΟΤΟΚΟΝ

Ἱκετήριοι ὁμοιοκατάληκτοι.

Ὦ Παρθένε ξένον θαῦμα, θαυμασίων θαυμαστὸν,
ἡ βαστάσα χερσί σου, τὸν Δεσπότην καὶ Θεόν.

Ἄνασσα Παρθενομῆτορ, τέρας φύσεων φρικτὸν,
πλήρωσον χαρᾶς ἐνθέου, τὸν χριστώνυμον λαόν.

Ὡς φωτὸς ἀδύτου Μήτηρ, φαίδρυνον μαρμαρυγαῖς,
καὶ φωτός σου τοῦ ἀδύτου λάμπρυνον ταῖς σαῖς αὐγαῖς.

Θεοτόκε τῶν ψαλλόντων, θυμηδία ποθεινὴ,
καὶ ᾀδόντων ἡδυτάτη Μουσικὴ καὶ ᾠδική.

Δέξαι δέομαι τοὺς ὕμνους διὰ ἀγαθότητά σου,
καὶ σὴν χάριν μοι παράσχου, διὰ τὴν χρηστότητά σου.

Σκέπη τῆς ἀειπαρθένου τῶν πιστῶν ἡ προστασία,
τῶν τιμώντων σε ἡ δόξα, καὶ ἀπόρων εὐκληρία.

Ἀσκητῶν βάσις βεβαία, ἀσθενούντων στηριγμὸς,
Μοναστῶν στολὴ τιμία, καὶ τυφλῶν ὁ ὀφθαλμός.

Τοῦ νοός μου δυσωπῶ σε, ἴασαι τὰς ἐκτροπὰς,
καὶ ὑμνεῖν σε ἐπαξίως, ποίησον ὡς ἀγαπᾶς.

Ἱκέτευε τὸν Υἱόν σου, τοῦ ἵλεων γενέσθαι,
πᾶσι πιστοῖς τε καὶ ἐμοὶ, σωτηρίαν εὑρέσθαι.

Ἡ σκέπουσα Ἁγνὴ πιστοὺς, λογικὸν δῶρον δέξαι,
καὶ ἀντιβράβευσον κἀμοὶ, σωτηρίαν εὑρέσθαι.

Ἀμήν.

# ΜΗΝΙ ΟΚΤΩΒΡΙΟΥ Α΄.

## Η ΑΝΑΜΝΗΣΙΣ ΤΗΣ ΑΓΙΑΣ

## ΣΚΕΠΗΣ

## ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ

## ΘΕΟΤΟΚΟΥ.

Ἑσπέρας ἐν τῷ μικρῷ ἑσπερινῷ, ἱστῶμεν στίχ. δ΄.
καὶ ψάλλομεν προσόμοια· ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων.

Τῶν εὐσεβούντων τὰ σίφη, καὶ μοναζῶν ἡ πληθύς· δεῦτε συμφώνως πάντες, εὐλαβῶς προσκυνοῦντες, τὴν Σκέπην τῆς Ἀχράντου Μητρὸς τοῦ Θεοῦ, μεγαλύνωμεν σήμερον· τὴν παραδόξως ὀφθεῖσαν ἐν τῷ ναῷ, Βλαχερνῶν τοὺς πιςοὺς σκέπουσαν.

Σκέπη ὑπάρχεις τοῦ κόσμου Θεοχαρίτωτε· σκέπουσα τοὺς σοὺς δούλους, τοὺς πιστῶς σὲ ὑμνοῦντας· καὶ πόθῳ τὴν εἰκόνα σου τὴν σεπτὴν, προσκυνοῦντας Πανάχραντε· καὶ σοῦ τῆς Σκέπης τὴν χάριν πανευλαβῶς, αἰτουμένους διασώζεις δεινῶν.

Πειρατηρίων κινδύνων τε καὶ κακώσεων, ἐκ πολυτρόπων σῶζε, τὴν σὴν ποίμνην Παρθένε· τῇ Σκέπῃ σου τῇ θείᾳ πάντας ἡμᾶς, συντηροῦσα καὶ σκέπουσα· ἐκ πειρασμῶν ἀοράτων καὶ ὁρατῶν· πρὸς σὲ μόνην γὰρ ἐλπίζομεν.

Πόθῳ τὴν θείαν σου Σκέπην Παρθενομῆτορ ἁγνὴ, μεθ' ἧς σκέπεις σοὺς δούλους, προσκυνοῦμεν ἐν πίστει, δεόμενοι βοῶντες πάντας ἡμᾶς, σκέπε φρούρει καὶ φύλαττε, ἐκ πειρασμῶν καὶ κινδύνων καὶ ἐκ πυρὸς, τοῦ ἀσβέστου ἡμᾶς λύτρωσαι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Δόξα, καὶ νῦν· ἦχος ά.

Δεῦτε πιστῶν ἡ ὁμήγυρις πᾶσα, καὶ μοναζόντων ὁ θίασος· τὴν τῆς Παρθένου πυρίμορφον Σκέπην, τὴν ἡμᾶς περισκέπουσαν, καὶ διασώζουσαν μεγαλύνωμεν· ϗ τοῖς ὕμνοις κροτοῦντες, πνευματικῶς ἑορτάσωμεν· καὶ χαριστήριον αἶνον τῇ Παρθένῳ προσοίσωμεν· ὡς δι' αὐτῆς σκεπόμενοι, πάντων δεινῶν, ἐκλυτρούμεθα· καὶ ἐν ὥρᾳ τῇ φοβερᾷ τῆς ἐτάσεως, δι' αὐτῆς σωθῆναι ἐλπίζομεν· καὶ λαβεῖν παρὰ Χριστοῦ τὸ μέγα ἔλεος.

Εἰς τὸν στίχον, προσόμοια· ἦχος έ.

Οἶκος τοῦ Εὐφραθᾶ.

Σκέπη πανευκλεής· Μητρὸς τοῦ Θεοῦ Λόγου· σκέπε φρούρει καὶ σῶζε· ἀπὸ παντοίας βλάβης, τοὺς εὐλαβῶς τιμῶντας σε.

Στίχ. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

Ἐλπὶς χριστιανῶν· Παντάνασσα Μαρία· χάριτι τῆς σῆς Σκέπης· περίσωζε τοὺς πόθῳ, ταύτην τιμῶντας σήμερον.

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Λύσιν τῶν δυσχερῶν· ϗ κτῆσιν τῶν ἀρίςων· βράβευσον σοῖς ἱκέταις· χάριτι τῆς σῆς Σκέπης, Μαρία μητροπάρθενε.

Δόξα, ὅμοιον.

Χαῖρε ἡ τὴν χαράν· τοῦ κόσμου τεξαμένη· Χριςὸν καὶ τῇ σῇ Σκέπῃ· σκέπουσα ἡμᾶς πάντας, Παρθένε Θεονύμφευτε.

Καὶ νῦν· ὅμοιον.

Ὕμνοις χρεωςικῶς, μοναζόντων τὰ ςίφη, τιμήσωμεν ἐν ὕμνοις, τὴν Σκέπην τῆς Πανάγνου, τὴν πάντας πιςοὺς σκέπουσαν.

Ἀπολυτίκιον, ἦχος ά. Τοῦ λίθου σφραγισθέντος.

Τῆς Σκέπης σου τὴν χάριν ἀνυμνοῦμεν Παρθένε, ἣν ἐν τῷ πανσέπτῳ ναῷ σου ἐφήπλωσας τοῖς πᾶσι· τὸ θαῦμα ἐκπλήττει πάντα νοῦν, πῶς θεῖόν σου Μαφόριον σεμνή, ἐφηπλοῦτο πανταχόθεν τοῖς λαοῖς, τῇ αἴγλῃ ἀστραπηφόρον· χάρις τῇ ἀντιλήψει σου σεμνή· χάρις τῇ θείᾳ Σκέπῃ σου· χάρις τῇ προμηθείᾳ σου, μόνη Θεόνυμφε.

Καὶ γίνεται ἀπόλυσις.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι,

Τὸ, Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ή. καὶ ψάλλομεν προσόμοια τῆς Θεοτόκου ἅπαντα· ἦχος ά.

Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος· τοῦ ὀφθέντος ποτὲ, ἐν Βλαχέρναις Βύζαντος· τῆς μόνης τὸν ποιητὴν ἡμῶν ϗ Κύριον· τεκούσης ἄνευ φθορᾶς· τὸ ἱερὸν γὰρ Μαφόριον ἥπλωσε· ϗ πάντας τοὺς εὐσεβεῖς, περισκεπάσασα χαρίτων ἐνέπλησε καὶ πρὸς εὐφροσύνην θείαν, συγκαλεῖται ἅπαντας· τοῦ βοᾷν γηθοσύνως· χαῖρε Σκέπη πιστοὺς σκέπουσα. Δίς.

Βαβαὶ τῶν σῶν θαυμασίων Ἁγνή· ὅτι τῇ σῇ Σκέπῃ, σκέπεις τοὺς ἱκέτας σου· καὶ σώζεις ἐκ πειρασμῶν καὶ περιστάσεων· τοὺς πόθῳ σε ἐκ ψυχῆς, προσκαλουμένους πανύμνητε Δέσποινα· συμφώνως οὖν ϗ ἡμεῖς, τῷ θαυμασίῳ Ἀνδρέᾳ κροτοῦμέν σοι· τῆς Πανυπεράγνου Κόρης, τὸ φρικτὸν τεράστιον· Μαφορίου σου Σκέπης, θείαν χάριν καὶ ἀντίληψιν. Δίς.

Σκέπην σου τὴν θείαν Ἄχραντε, Ἀσωμάτων δῆμοι, καὶ πιστῶν ὁμήγυρις· τιμῶμεν πανευλαβῶς, περισκεπόμενοι· τῇ χάριτι τοῦ σεπτοῦ, σοῦ Μαφορίου, δι' οὗ σκέπεις ἅπαντας· τοὺς πόθῳ τελοῦντας νῦν, τὴν θαυματόβρυτον ταύτην πανήγυριν· σοῦ τῆς Παναγίας Σκέπης, νέφη ἐκδιώκουσα· πειρασμῶν καὶ κινδύνων, τοῦ δολίου πολεμήτορος.

Σκέπη τῆς Πανάγνου πάντιμε· ἡ πιστοὺς φρουροῦσα, σκέπασον τοὺς ἅπαντας· πιςοὺς χάριτι σῇ, προσκαλουμένους σε· καὶ σῶζε ἐκ δυσχερῶν, πειρατηρίων παντοίων ϗ θλίψεων· σὺ γὰρ τὴν μόνην Ἁγνὴν, ἐν κόσμῳ ζῶσαν σεμνῶς περιέσκεπες· ὅθεν κατὰ χρέος πάντες, σήμερον τιμῶμέν σου· τὴν ἀνάμνησιν πόθῳ, τὴν Πανύμνητον γεραίροντες.

Χαῖρε τῶν πιστῶν τὸ καύχημα· σὺ γὰρ μόνη πέλεις, πάντων τὸ προσφύγιον· καὶ Σκέπη ἡ κραταιά, τῶν προστρεχόντων σοι· διὸ τιμῶμεν τὴν σήν, μεγαλουργίαν τῆς Σκέπης σου Ἄχραντε· ἣν εἶδεν ὁ θαυμαστός, Ἀνδρέας ἐν οἴκῳ ἁγίῳ σου· ὥσπερ τῆς νεφέλης πάλαι, κιβωτοῦ τυπούσης σε· ἐν ᾗ σκέπασον πάντας, τοὺς ἐκ πόθου ἀνυμνοῦντάς σε.

Δεῦτε μοναστῶν συστήματα, καὶ λαμπρὰν χορείαν, σήμερον συστήσωμεν· τιμῶντες πανευλαβῶς, τῆς τοῦ Κυρίου Μητρός· τὴν Σκέπην τὴν ἱεράν, τὴν τοὺς πιστοὺς πανταχοῦ περισκέπουσαν· καὶ ῥύουσαν τῶν δεινῶν, τοῦ πονηροῦ σκανδάλων καὶ θλίψεων· σώζουσα πυρὸς γεέννης, ἐν ἡμέρᾳ κρίσεως· τοὺς πιστῶς προσκαλοῦντας, τὴν θερμὴν αὐτῆς ἀντίληψιν.

Δόξα, καὶ νῦν· ἦχος ά.

Κροτήσωμεν σήμερον ᾀσματικὴν μελῳδίαν· καὶ ἠχήσωμεν γηθοσύνως, τὰ τῆς Παρθένου ἐξαίσια θαυμάσια· τὸ ὑπερφυὲς τερατούργημα, αὐτῆς μεγαλύνοντες· ὃ ὁ θαυμάσιος Ἀνδρέας ἀσκαρδαμυκτὶ ἐθεάσατο· ἐν τῷ τῶν Βλαχερνῶν σεβασμίῳ ναῷ, σὺν τῷ Ἐπιφανίῳ αὐτοῦ προσφιλεῖ, ὡς πιστοὶ αὐτῆς θεράποντες· τὴν γὰρ ἁγίαν αὐτῆς Σκέπην, τοῦ ἱεροῦ Μαφορίου αὐτῆς ἐφαπλώσασα πάντας τοὺς εὐσεβεῖς παραδόξως ἐσκέπασεν· ὅθεν καὶ ἡμεῖς σήμερον, τὴν ἀνάμνησιν τελοῦντες, ἐκτενῶς ἱκετεύομεν λέγοντες· σκέπασον ἡμᾶς Παντάνασσα Δέσποινα, τῇ τῆς σῆς χάριτος Σκέπῃ τῇ κραταιᾷ· καὶ σῶσον ἐκ κινδύνων καὶ περιστάσεων, τοὺς εὐλαβῶς σε τιμῶντας· καὶ προσκυνοῦντας ἐν πίστει, τὸν ἄχραντον Τόκον σου πολυΰμνητε.

Εἴσοδος· τό, Φῶς ἱλαρόν· προκείμενον τῆς ἡμέρας· καὶ τὰ ἀναγνώσματα.

Τῆς ἐξόδου τὸ ἀνάγνωσμα.

Ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέγων· Ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ πρώτου, στήσεις τὴν Σκηνὴν τοῦ μαρτυρίου· καὶ θήσεις τὴν Κιβωτὸν τοῦ μαρτυρίου· καὶ σκεπάσεις αὐτὴν τῷ καταπετάσματι· καὶ εἰσοίσεις τὴν τράπεζαν, καὶ τὴν λυχνίαν· καὶ θήσεις τὸ θυμιατήριον τὸ χρυσοῦν, εἰς τὸ θυμιᾷν ἐναντίον τῆς Σκηνῆς τοῦ μαρτυρίου· καὶ ἐπιθήσεις τὸ κάλυμμα τοῦ καταπετάσματος ἐπὶ τὴν θύραν τῆς Σκηνῆς τοῦ μαρτυρίου· καὶ λήψῃ



τὸ ἔλαιον τοῦ χρίσματος· καὶ χρίσεις τὴν Σκηνήν, καὶ πάντα τὰ ἐν αὐτῇ, καὶ ἔσται ἁγία· καὶ ἁγιάσεις τὸ θυσιαστήριον· καὶ ἔσται τὸ θυσιαστήριον ἅγιον τῶν ἁγίων. Καὶ ἐποίησε Μωσῆς ὅσα ἐνετείλατο αὐτῷ Κύριος, οὕτως ἐποίησε· καὶ ἐκάλυψεν ἡ νεφέλη τὴν Σκηνὴν τοῦ μαρτυρίου· καὶ δόξης Κυρίου ἐπλήσθη ἡ Σκηνὴ τοῦ μαρτυρίου· καὶ οὐκ ἠδύνατο Μωσῆς εἰσελθεῖν εἰς τὴν Σκηνὴν τοῦ μαρτυρίου· ὅτι ἐπεσκίασεν αὐτὴν ἡ νεφέλη· καὶ δόξης Κυρίου ἐπλήσθη ἡ Σκηνή.

Τῆς ἐξόδου τὸ ἀνάγνωσμα.

Ἐξῆλθε Μωσῆς εἰς τὸ ὄρος τοῦ Θεοῦ Χωρήβ· ὤφθη δὲ αὐτῷ Ἄγγελος Κυρίου ἐν φλογὶ πυρὸς ἐκ τῆς βάτου· καὶ ὁρᾷ ὅτι ἡ βάτος καίεται πυρί, καὶ οὐ καταφλέγεται· εἶπε δὲ Μωσῆς· παρελθὼν ὄψομαι τὸ ὅραμα τοῦτο τὸ μέγα, τί ὅτι οὐ κατακαίεται ἡ βάτος; ὡς δὲ εἶδε Κύριος ὅτι προάγει τοῦ εἰδεῖν, ἐκάλεσεν αὐτὸν ἐκ τῆς βάτου λέγων· Μωσῆ, Μωσῆ· ὁ δὲ εἶπε· τί ἐστι Κύριε; ὁ δὲ Κύριος εἶπε· μὴ ἐγγίσῃς ὧδε· λῦσον τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας, γῆ ἁγία ἐστί· καὶ εἶπεν αὐτῷ· ἐγώ εἰμι ὁ Θεὸς τοῦ πατρός σου Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ· ἀπέστρεψε δὲ Μωσῆς τὸ πρόσωπον αὐτοῦ· ηὐλαβεῖτο γὰρ καταβλέψαι ἐνώπιον τοῦ Θεοῦ· Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν· ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τῆς κραυγῆς αὐτῶν ἀκήκοα ἀπὸ τῶν ἐργοδιωκτῶν· οἶδα γὰρ τὴν ὀδύνην αὐτῶν, καὶ κατέβην τοῦ ἐξελέσθαι αὐτοὺς ἐκ χειρὸς Αἰγυπτίων, καὶ ἐξαγαγεῖν αὐτοὺς ἐκ τῆς γῆς ἐκείνης· καὶ εἰσαγαγεῖν αὐτοὺς εἰς γῆν ἀγαθήν, καὶ πολλήν, εἰς γῆν ῥέουσαν μέλι καὶ γάλα.

Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα, ποιήσουσιν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν καὶ τὰ τοῦ σωτηρίου ὑμῶν, καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος, Κύριος· καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνατολάς· καὶ αὐτὴ ἦν κεκλεισμένη· καὶ εἶπε Κύριος πρός με· υἱὲ ἀνθρώπου ἡ πύλη αὐτὴ κεκλεισμένη ἔσται· οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς

οὐ μὴ διέλθῃ δι' αὐτῆς· ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ εἰσελεύσεται δι' αὐτῆς· καὶ ἔσται κεκλεισμένη· διότι ὁ ἡγούμενος οὗτος κάθηται ἐν αὐτῇ τοῦ φαγεῖν ἄρτον ἐνώπιον Κυρίου. κατὰ τὴν ὁδὸν τοῦ Αἰλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται· καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς βορρᾶν κατέναντι τοῦ οἴκου· καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

Εἰς τὴν Λιτήν, ἰδιόμελα· ἦχος ά.

Μέγα καὶ παράδοξον θαῦμα σήμερον, ὁ θαυμαςὸς Ἀνδρέας τεθέαται, ἐν τῷ περιβλέπτῳ ναῷ τῶν Βλαχερνῶν· ἡ γὰρ Παντάνασσα Δέσποινα, λαμπροφανὴς ἐπιστᾶσα, ὑπ' Ἀγγέλων δορυφορούντων προπεμπομένη· μέσον δὲ τοῦ Βαπτιστοῦ, καὶ Θεολόγου Ἰωάννου χειροκρατουμένη, ἔνδον τῶν ἀδύτων εἰσελθοῦσα· καὶ τὸ ἐκεῖσε φρουρούμενον Μαφόριον αὐτῆς ἀναπτύξασα, τὸ τῆς παρθενίας φρικτὸν τεκμήριον, μεθ' οὗ τὴν ἄχραντον Κεφαλὴν αὐτῆς περιέσκεπεν, ἐν κόσμῳ περιοῦσα, καὶ τοῦτο ἐφαπλώσασα, τὸν πιστὸν λαὸν περιέσκεπεν· ὃ καὶ κατιδὼν ὁ ἱερὸς Ἐπιφάνιος, φόβῳ καὶ χαρᾷ συσχεθεὶς τὸν διδάσκαλον ἐπηρώτα· ὢ τοῦ θαύματος· τὴν χάριν αὐτῆς ἡ Βασίλισσα, διὰ τοῦ Μαφορίου αὐτῆς τοῖς πιστοῖς διένειμεν· οὗτινος θαύματος τὴν ἀνάμνησιν ἑορτάζοντες, τῇ Θεοτόκῳ βοήσωμεν· σκέπασον καὶ ἡμᾶς ἐν τῇ Σκέπῃ σου Πανάχραντε, καὶ ῥῦσαι κολάσεως τὰς ψυχὰς ἡμῶν.

Ἦχος β'.

Δεῦτε φιλεόρτων συστήματα, ἐν καθαρᾷ καρδίᾳ, καὶ συνειδότι εὐσταθμῳ, τῇ Παρθένῳ τὸν ὕμνον προσοίσωμεν λέγοντες· σὺ ἡμῶν σκέπη καὶ βοήθεια Δέσποινα, καὶ τῇ σεπτῇ σου Σκέπῃ διασώζεις ἀεί, τοὺς εἰς σὲ καταφεύγοντας· σκέπασον οὖν ἡμᾶς, τοὺς σὲ παρακαλοῦντας· καὶ πυρὸς γεέννης ἐξάρπασον, ἐν ὥρᾳ τῆς δίκης, ὡς πάντα ἰσχύουσα, μετὰ Θεὸν τῇ θερμῇ σου πρεσβείᾳ, Πανύμνητε, Θεοτόκε Παντάνασσα.

Ὁ αὐτός.

Ἡ Σκέπη σου Θεοτόκε πανάχραντε, πάντας πιστοὺς περισκέπουσα, διασώζει ἀπήμονας παντοίας ἐκ βλάβης· καὶ φυλάττει ἀλωβήτους ἀπὸ πάσης νόσου ϗ θλίψεως· πᾶσαν ἀχλὺν



τῶν δεινῶν ἀπελαύνουσα· καὶ ἐν αὐτῇ προσπεφευγότες οἱ δοῦλοί σου, ἐκλυτρούμεθα κινδύνων καὶ κακώσεων· σὺ γὰρ ἡμῶν ὑπάρχεις Σκέπη, καταφυγὴ καὶ ἀντίληψις, σωτηρία τε καὶ βοήθεια· καὶ διὰ σοῦ σωτηρίας τυχεῖν ἐλπίζομεν Θεοτόκε, οἱ πρὸς σὲ πιστῶς καταφεύγοντες.

Ἦχος δ'.

Ἆσμα ᾀσμάτων, σὺ ὑπάρχεις Θεόνυμφε Δέσποινα· νόων χαρμονή, καὶ βροτῶν παραμύθιον· πόλου τε ϗ γῆς Κυρία καὶ πρύτανις· ἀνάκτων πιστῶν δὲ διάδημα· εὐσεβούντων λαοῦ κέρας· Γέφυρα πρὸς Ἐδέμ, καὶ κλίμαξ πρὸς οὐρανοὺς ἀναφέρουσα· πόλις τοῦ Θεοῦ, καὶ θρόνος ἔμψυχος τοῦ Δεσπότου τῆς κτίσεως· σκεῦος ζωῆς πανέντιμον· παράδεισος ἀκηράτου τρυφῆς· θυμιατήριον πάγχρυσον, πνευματικοῦ πανευώδους θυμιάματος· λαμπὰς φωτοπάροχος, καὶ μάννα ἐπουράνιον· λαβὶς ἀνθρακοφόρος μυστική, καὶ ῥόδον ἡδύπνοον· τράπεζα τοῦ οὐρανίου Ἄρτου, καὶ φωτὸς ἀδύτου λαμπηδών· ῥοδοδάκτυλος αὐγὴ τοῦ νοητοῦ ἡλίου· καὶ Σκέπη ἀναψυχῆς σωτηρίας· σκέπουσα ἡμᾶς καὶ πρὸς τὴν ἄνω Ἱερουσαλήμ, ὁδηγοῦσα καὶ σώζουσα.

Ἦχος πλ. ά.

Θαῦμα θαυμάτων πανθαύμαστον, καὶ τέρας φύσεως φρικτὸν ϗ ξενήκουσον, ὑπάρχεις Θεόνυμφε Δέσποινα· θυμηδία ποθεινή, ἡ πλημμυροῦσα χάρισι τὸν πιστὸν λαόν, ἀΰλου σου φωτὸς μαρμαρυγαῖς, ὡς οὖσα Μήτηρ τοῦ Φωτός· σκέπη τε ἀπόρων, ἡμᾶς περισκέπουσα· δωρεῶν δὲ ἐνθέων ζωοπάροχος χάρις· βράβευσον οὖν ἡμῖν σὴν χάριν· λιτανεύουσι σὴν δόξαν· καὶ τὸ Σὸν κεχαριτωμένον ὄνομα, πανευλαβῶς γεραίρουσιν· ὡς τέμενος τιμαλφέστατον τοῦ Δεσπότου ὑπάρχουσα· σκήνωμά τε θεοχώρητον, Θεοῦ τοῦ ἀχωρήτου· καὶ λυχνία ἑπτάφωτος, ἡ τὸ λαμπάδιον Χρισὸν, τῷ κόσμῳ κυήσασα, Μαρία Μητροπάρθενε· τοῦ κόσμου μεσίτρια, καὶ ἡμῶν τῆς σῆς ποίμνης διάσωσμα· μὴ οὖν ἐλλείπῃς ἡμᾶς περισκέπουσα, καὶ ὀξέως προφθάνουσα, ἐν συμφοραῖς καὶ κακώσεσι· σὲ γὰρ προστάτιν ἐν πᾶσιν ἀεὶ κεκτήμεθα, καὶ τῇ ἀμάχῳ σου Σκέπῃ περιφρουρούμεθα.

Δόξα, καὶ νῦν· ὁ αὐτός.

Σήμερον ἡ Παντάνασσα πανύμνητος, καὶ Θεοτόκος Μαρία, τὴν θείαν ϗ ὁλόφωτον αὐτῆς, ἀστραπόμορφον Σκέπην ὑφα-

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣ...

πλώσασα, τοὺς πιστοὺς πάντας ἐν οἴκῳ ἁγίῳ αὐτῆς ἐσκέπασεν· οἷα νεφέλη τὸ πάλαι, ἐν τῇ Σκηνῇ τοῦ μαρτυρίου, ἢ τὸν Ἰσραὴλ ὁδηγοῦσα καὶ θάλπουσα· οὕτω τὴν Βασιλίδα τῶν πόλεων, σὺν τῷ πιστῷ χριστεπωνύμῳ πληρώματι περισκέπουσα· τὴν ἄπειρον αὐτῆς χάριν παρεμφαίνουσα διένειμεν, εἰς ἅπαντα εὐσεβῶν τὰ σκηνώματα· ἧς περ νῦν τὴν ἀνάμνησιν, οἱ πιστοὶ αὐτῆς οἰκέται ποιούμενοι, χρεωστικῶς πρὸς αὐτὴν μετὰ πόθου βοήσωμεν· σκέπασον ἡμᾶς Πανύμνητε Δέσποινα, ὑπὸ τὴν σὴν Σκέπην, τὴν σωστικὴν καὶ ἁγίαν, τοὺς πιστῶς ἀνυμνοῦντάς σε· καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στίχον, προσόμοια· ἦχος δ'.
Ἔδωκας σημείωσιν.

Δεῦτε νῦν κροτήσωμεν, χεῖρας πιστῶν ἡ ὁμήγυρις· δεῦτε ᾄσμασι μέλψωμεν, τὴν μόνην Θεόνυμφον, ἄσπιλον Μαρίαν· διάσωσμα πάντων, Σκέπην τὴν σκέπουσαν ἡμᾶς· φρουρὸν ὑπάρχουσαν καὶ προσφύγιον· ὡς ταύτην ἐθεάσατο, πάλαι Ἀνδρέας ὁ ὅσιος· τοὺς πιστοὺς περιθάλπουσαν, καὶ κινδύνων ἐξαίρουσαν.

Στίχ. Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

Μαφόριον Σκέπης σου, τὸ περισκέπον πιστῶν πληθὺν, τῆς Μητρὸς τοῦ Θεοῦ ἡμῶν, ὃ ἡμῖν κατέλιπες, ἐν τῇ μετασάσει, τῇ σῇ προσκυνοῦμεν, πανευλαβῶς οἱ εὐσεβεῖς, τελοῦντες σήμερον τὴν ἀνάμνησιν· δι' οὗ περισκεπόμεθα, τῇ προσασίᾳ σου Ἄχραντε· καὶ σὲ πόθῳ γεραίρομεν, ὡς Μητέρα τοῦ κτίσαντος.

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Θαῦμα φρικωδέστατον, ἐν τῷ ναῷ Βλαχερνῶν ἰδὼν, ὁ Ἀνδρέας ἐξίσατο· τὴν πάντων Βασίλισσαν, ἐφαπλοῦσαν Σκέπην, αὐτῆς τὴν ἁγίαν· καὶ περισκέπουσαν λαὸν, τὸν χριστεπώνυμον αἴγλῃ χάριτος· χαίρων δὲ κατεμήνυσεν, Ἐπιφανίῳ θεόφρονι· μεθ' ὧν νῦν ἑορτάζοντες, τὴν Παρθένον γεραίρομεν.

Δόξα, καὶ νῦν· Ἦχος πλ. δ'.

Τίς μὴ θαυμάσει· τίς μὴ δοξάσει καὶ μεγαλύνει, τὰ ὑπερφυῆ σου ἐξαίσια μεγαλουργήματα, Παντάνασσα Δέσποινα; καθεκάστην γὰρ πανταχοῦ προφθάνεις, περισκέπουσα ἅπαντας, τοὺς τὴν σεπτήν σου Σκέπην τιμῶντας, καὶ προσκαλουμένους



τὴν θερμήν σου ἀντίληψιν· ὅθεν εὐχαρίστως γεραίρομεν τὴν σὴν προμήθειαν, ἀνυμνοῦντες σε τὴν ἀνωτέραν τῶν Χερουβὶμ, καὶ Σεραφὶμ ὑπερτέραν ὑπάρχουσαν, τῶν τετραμόρφων ὑπερενδοξοτέραν· καὶ δυσωποῦμεν κατάπεμψον ἡμῖν αἰτουμένοις, τὴν σὴν ἄμαχον ἐξ ὕψους βοήθειαν· καὶ τῇ παναλκεστάτῃ σου Σκέπῃ, σκέπασον ἡμᾶς Πανύμνητε· περισώζουσα καὶ φυλάττουσα ἀσινεῖς, ἐκ τῶν τοῦ πονηροῦ ἐπινοιῶν καὶ κακώσεων· ἵνα πίστει καὶ πόθῳ, τιμῶντες δοξάζωμεν, τὴν εἰς ἡμᾶς σου προμήθειαν Δέσποινα.

Ἀπολυτίκιον, ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

Τῆς Σκέπης σου τὴν χάριν, ἀνυμνοῦμεν Παρθένε· ἣν ἐν τῷ πανσέπτῳ ναῷ σου, ἐφήπλωσας τοῖς πᾶσι· τὸ θαῦμα ἐκπλήττει πάντα νοῦν, πῶς θεῖόν σου μαφόριον σεμνὴ, ἐφηπλοῦτο πανταχόθεν τοῖς πιστοῖς, τῇ αἴγλῃ ἀστραπηφόρον· χάρις τῇ ἀντιλήψει σου Ἁγνὴ, χάρις τῇ θείᾳ Σκέπῃ σου· χάρις τῇ προμηθείᾳ σου, μόνη Πανάχραντε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, ἦχος πλ. α'. Τὸν συνάναρχον λόγον.

Τὴν ἁγίαν σου Σκέπην ἁγνὴ Πανύμνητε, ἣν ἐν Βλαχέρναις κατεῖδον τοὺς πιςοὺς σκέπουσαν, ὁ Ἀνδρέας ὁ σοφὸς καὶ Ἐπιφάνιος, ἀνευφημοῦμεν εὐλαβῶς, προσκυνοῦντες ἐν χαρᾷ, ὡς σκέπουσαν καὶ φρουροῦσαν· καὶ ἀπήμονας συντηροῦσαν τοὺς προσκαλοῦντας τὴν ἀρωγὴν αὐτῆς.

Ἡ εὐλόγησις τῶν ἄρτων· καὶ τίθεται ἀνάγνωσις τοῦ ὑπομνήματος τῆς ἁγίας Σκέπης. (Ὅρα εἰς τὸ τέλος τῆς ἀκολουθίας).

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ,

Τὸ, Θεὸς, Κύριος· καὶ τὰ ἀπολυτίκια Τροπάρια· τὸ πρῶτον δίς.
Μετὰ δὲ τὴν α'. στιχολογίαν, Κάθισμα ἦχος α'.
Τὸν τάφον σου Σωτήρ.

Τὴν Σκέπην σου Ἁγνὴ, τὴν σεπτὴν προσκυνοῦμεν· τὴν πάντας τοὺς πιστοὺς, περισκέπουσαν ὄντως· συμφώνως γεραίροντες, σοῦ τὴν δόξαν τὴν ἄρρητον· σὺ γὰρ πέφυκας, Σκέπη

ἡμῶν καὶ προστάτις· καὶ βοήθεια, τῶν εὐλαβῶς ἐκτελούντων, σῆς Σκέπης ἀνάμνησιν. Δόξα, τὸ αὐτό.

Καὶ νῦν, ἦχος γ'. Τὴν ὡραιότητα.

Τὴν θείαν Σκέπην σου, τὴν ἀςραπόμορφον, καὶ πανυπέρτιμον, Θεοχαρίτωτε, οἱ εὐσεβεῖς πανευλαβῶς, τιμῶμεν καὶ προσκυνοῦμεν· καὶ κατασπαζόμεθα, ὡς ἡμᾶς περισκέπουσαν· ϗ διαφυλάττουσαν, ἐκ κινδύνων καὶ θλίψεων· διὸ καὶ εὐχαρίστως βοῶμεν· χαῖρε ἡ πάντων προστασία.

Μετὰ δὲ τὴν β'. στιχολογίαν, κάθισμα, ἦχος πλ. δ'.
Τὸ προσταχθὲν μυστικῶς.

Τῶν εὐσεβῶν ϗ μοναζόντων αἱ χορεῖαι, πρὸς τὴν σὴνΣκέπην νῦν προςρέχομεν Παρθένε, καὶ ἐκ πόθου ἅπαντες, ταύτην προσκυνοῦντες· βοῶμεν μετ' εὐλαβείας Μήτηρ Θεοῦ, ἐν ὥρα τῆς καταδίκης τῆς φοβερᾶς, σκέπασον καὶ ἐξάρπασον, κολάσεως ὀδυνηρᾶς· ἵνα πόθῳ δοξάζωμεν, τὴν θερμήν σου ἀντίληψιν.
Δόξα· καὶ νῦν τὸ αὐτό.

Μετὰ τὸν πολυέλεον, κάθισμα, ἦχος δ'. Ταχὺ προκατάλαβε·

Παρθένε Παντάνασσα, θείας σου Σκέπης πιστῶς, χαρᾷ τὴν ἀνάμνησιν ἐν Βλαχερνῶν σου ναῷ, λαμπρῶς ἑορτάζομεν, πάντες καὶ κατὰ χρέος, ἀνυμνοῦμεν ἐν πίστει· πόθῳ τὴν σὴν εἰκόνα, ἀσπαζόμενοι πάντες· τὴν χάριν δαψιλῶς ἀπαρυόμενοι.
Δόξα, τὸ αὐτό.

Καὶ νῦν, ἦχος ὁ αὐτός. Ἐπεφάνης σήμερον.

Ἐν τῇ Σκέπῃ ἄχραντε, τῇ φεραυγῇ σου, προσφυγόντας σκέπασον, καὶ διαφύλαξον ἡμᾶς, ἀπὸ κινδύνων καὶ θλίψεων, ὅπως τιμῶμεν τὴν ἄμαχον Σκέπην σου.

Οἱ ἀναβαθμοί· προκείμενον ἦχος δ'.

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Στίχ. Ἄκουσον θύγατερ καὶ ἴδε. Εὐαγγέλιον κατὰ Λουκᾶν. Ἀναστᾶσα Μαριάμ. Ὁ Ν'. Δόξα. Ταῖς τῆς Θεοτόκου. Καὶ νῦν, τὸ αὐτό. Στίχ. Ἐλέησόν με ὁ Θεός.



Ἰδιόμελον, ἦχος β'.

Σήμερον ἡ πανύμνητος Δέσποινα, τὴν θείαν αὐτῆς Σκέπην ἐφαπλώσασα, τοὺς πιστοὺς πάντας ἐσκέπασεν· οἷα νεφέλη ἡ ἐν ἐρήμῳ, τὸν Ἰσραὴλ περιθάλπουσα, τὴν χάριν αὐτῆς ὑπεμφαίνουσα· πρὸς αὐτὴν οὖν βοήσωμεν· σκέπασον ἡμᾶς ὑπὸ τὴν Σκέπην σου, Μαριὰμ ἡλιόμορφε· καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Οἱ δύο Κανόνες τῆς Ἁγίας Σκέπης· ὁ πρῶτος μετὰ τῶν Εἱρμῶν εἰς ή. καὶ ὁ δεύτερος εἰς ἕξ. Ὁ πρῶτος. Ὠδὴ ά. ἦχος δ'. Ὁ Εἱρμός.

» Ἀνοίξω τὸ ςόμα μου, ϗ πληρωθήσεται πνεύματος· ϗ λόγον
» ἐρεύξομαι τῇ Βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαιδρῶς
» πανηγυρίζων· καὶ μέλψω γηθόμενος, Σκέπην τὴν πάντιμον.

Τροπάριον.

Τὴν πάνσεπτον Σκέπην σου, Θεοχαρίτωτε Δέσποινα· οἱ δοῦλοί σου σήμερον πόθῳ γεραίρομεν· ἣν ὁ ὅσιος Ἀνδρέας ἐν Βλαχέρναις, κατεῖδε γηθόμενος, καὶ ἀγαλλόμεθα.

Εὐφρόσυνον σήμερον, ἡμέραν ἄγει ἡ σύμπασα, κτίσις ἑορτάζουσα τὴν θείαν Σκέπην σου, Μητροπάρθενε· ἡμεῖς δὲ κατὰ χρέος· τιμῶμεν ὡς σκέπουσαν, ἡμᾶς ἑκάστοτε·

Τοῦ κόσμου τὰ πέρατα, δόξῃ τῆς Σκέπης σου Δέσποινα· ἐπαγαλλιώμενα πανηγυρίζουσιν· οἷα σκέπουσαν, πάντας καὶ συντηροῦσαν· ἐκ πάσης κακώσεως, καὶ περιστάσεως.

Ἀΰλων ταγμάτων σε, ὑπερανέχουσαν Δέσποινα· ἀσυγκρίτως ἔγνωμεν, καὶ οὐρανῶν ἀληθῶς· πλατυτέραν σε σκέπουσαν τῇ σῇ Σκέπῃ· πιστῶν ἅπαν πλήρωμα, καὶ διασώζουσαν.

Ἕτερος Κανὼν τῆς αὐτῆς Ἑορτῆς· οὗ ἡ ἀκροστιχίς·

Ὑμνῶ Σκέπης σου, τὴν χάριν Παναγία. Ὁ Ἰάκωβος.

Ὠδὴ ά. ἦχος ά. Ὠδὴν ἐπινίκιον.

Ὑμνήσωμεν ἅπαντες, τὴν θείαν Σκέπην, τῆς μόνης Θεόπαιδος· ἥν περ ἐθεάσατο, Ἀνδρέας ὁ ἱερὸς, ἐν τῷ ναῷ τῶν Βλαχερνῶν· τοὺς πιστοὺς σκέπουσαν.

Μαρία πανάχραντε σοῦ θείαν Σκέπην, γεραίρομεν σήμερον· καὶ πιστῶς δοξάζομεν· ὡς σκέπουσαν τοὺς πιστούς· καὶ διασώζουσαν ἡμᾶς ἐκ περιστάσεων.

Νομὴν τὴν φερέσβιον, πᾶσι παρέχει, ἡ Σκέπη σου Δέσποινα· ἡ πανυπερθαύμαστος, στήλη φωτίζουσα φῶς· τὸν νέον σκέπουσα λαόν· διό σε μέλπομεν.

Ὡς μόνην Μητέρα σε γεγεννημένην· υἱὸν Θεοῦ τέξασαν, εὐφημοῦντες μέλπομεν, τῶν χαρισμάτων πηγήν· σκέπεις γὰρ πάντας τοὺς πιστούς, τῇ θείᾳ Σκέπῃ σου.

Σκηνῇ νῦν προσέλθετε, τῆς θείας Σκέπης· καὶ χάριν ἀρύσασθε· οἱ κακοῖς τρυχόμενοι· βραβεύει γὰρ ἀληθῶς, ἡ θεία Σκέπη τῆς Ἁγνῆς, ῥεῖθρα ἰάσεων.

Καταβασία· Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ΄. ὁ Εἱρμός.

» Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε· ὡς ζῶσα καὶ ἄφθονος
» πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον·
» καὶ Σκέπῃ τῇ ἁγίᾳ σου, τοὺς σὲ γεραίροντας σκέπασον.

Τροπάριον.

Ὁ πρὶν Ἰσραὴλ πυρὸς τῷ στύλῳ· νεφέλῃ σκεπόμενος πρὸς γῆν, ἐπαγγελίας ᾤχετο· Σκέπῃ δὲ τῇ πανσέπτῳ σου, πιστοὶ περισκεπόμενοι, πρὸς οὐρανοὺς μεταβαίνομεν.

Νεφέλη ἡ πάλαι προετύπου· τὴν θείαν σου Σκέπην ἀληθῶς, σῇ παναλκεῖ δυνάμει γάρ, Θεοκυῆτορ Ἄχραντε· σκέπεις ἡμᾶς τοὺς δούλους σου, ἐκ τῶν βελῶν τοῦ ἀλάστορος.

Τὸ σκότος τῆς πάλαι ἀθεΐας, διέλυσας Δέσποινα Ἁγνή· τὸ φῶς ἀποκυήσασα, Χριστὸν τὸν ὑπεράγαθον· νῦν δὲ τῇ θείᾳ Σκέπῃ σου, σκέπεις τοὺς πόθῳ τιμῶντάς σε.

Ὁ εἷς τῆς Τριάδος κόσμου ὤφθη, ἐκ σοῦ Θεοτόκε σαρκωθείς· καὶ ἔσωσε τὸν ἄνθρωπον· σὺ δὲ τῇ θείᾳ Σκέπῃ σου· σκέπεις ἡμᾶς τοὺς δούλους σου, καὶ διασώζεις κολάσεως.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ἄλλος. Λίθον ὃν ἀπεδοκίμασαν.

Κλίμακά σε ἐθεάσατο, Ἰακὼβ Παρθένε· δι' ἧς καὶ κατέβη ὁ Θεὸς τῶν ὅλων· καὶ Σκέπην ἁγίαν πιστοὶ νῦν γινώσκομεν· ὡς περισκέπουσαν ἡμᾶς, ἐκ τῶν δεινῶν μόνη πανύμνητε.

Εὗρε λογικόν σε σκήνωμα, ὁ λόγος Παρθένε· καὶ σκηνὴν ἁγίαν, καὶ καθαρὰν εὑρών σε· ὅλος ἐν σοὶ οἰκήσας· πιστοῖς σε ἀνέδειξεν, ἀκοίμητον πρέσβυν καὶ φρουρόν· Σκέπῃ σου τῇ θείᾳ φυλάττουσαν.

Πέλεις παρθενίας καύχημα, ὦ Παρθενομῆτορ· Σκέπῃ σου τῇ θείᾳ, τοὺς πιστοὺς φρουροῦσα· σὺ γὰρ τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον, Ἁγνὴ ἐδείχθης ἀληθῶς· σώζουσα πάντας τῇ Σκέπῃ σου.

Ἤστραψεν ἡ θεία Σκέπη σου, αὖγος θαυμασίων· ἐν ναῷ ἁγίῳ, τῶν Βλαχερνῶν Παρθένε· πάντας πιστοὺς ἐκεῖσε, σκεπάσασα ἔπλησε, τῆς χάριτος ὡς ἀληθῶς· ὡς ὁ Ἀνδρέας ἐθεάσατο.

Σήμερον πιστῶν ὁμήγυρις, ἑορτάζει πόθῳ· Σκέπης σου τῆς θείας, μνείαν Θεοτόκε· ἣν ὁ Ἀνδρέας κατεῖδεν ἐν οἴκῳ σου· τῶν Βλαχερνῶν πιστοὺς φρουροῦσαν· νῦν δὲ ἡμᾶς ὡς περισκέπουσαν.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα· ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ὡς νεφέλη καὶ σκέπη στύλος πυρός, ἡλιόμορφον ἅρμα τε τοῦ Δαβίδ· κλίνη Σολομῶντος, Ἡσαΐου ὁ τόμος τε, σκηνὴ τοῦ Μωϋσέως, καὶ τεῖχος ἀδάμαντος, σὺ τοῦ Ἀμὼς ὑπάρχουσα, λυχνία χρυσήλατος, ἡ τοῦ Ζαχαρίου, Δανιὴλ τε τὸ ὄρος, πυξίον κροκόλευκον, Ἀββακοὺμ καὶ τὸ ἔξοχον, Προφητῶν περιήχημα· σκέπασον οὖν πάντας ἡμᾶς, τοὺς τιμῶντας, θεῖόν σου Μαφόριον· καὶ λύτρωσαι παντὸς κακοῦ, οἷα πάντα ἰσχύουσα.

Δόξα. Καὶ νῦν· τὸ αὐτό.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

» Ὁ καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου Θεότητος· ἐν νεφέλῃ κού-
» φῃ, ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος· τῇ ἀκηράτῳ Παρθένῳ, ᾗ
» διέσωσε· τοὺς τὴν Σκέπην νῦν, αὐτῆς τὴν θείαν δοξάζοντας.

Τροπάριον.

Επιφάνηθι Παρθένε, καὶ τῇ Σκέπῃ σου σκέπασον, τοὺς πιστῶς τιμῶντας, τὰ σὰ μεγαλεῖα καὶ θαύματα· καὶ μὴ σὴν ποίμνην ἐκδώῃς εἰς ἀπώλειαν, ἀλλὰ σκέπασον, πάντας ἡμᾶς τῇ σῇ χάριτι.

Ανοιξον τὴν θύραν πᾶσι, τοῦ ἐλέους Δέσποινα, καὶ σοῦ θείᾳ Σκέπῃ, σκέπασον ἡμᾶς τοὺς τιμῶντάς σε· καὶ ἐκ παντοίων κινδύνων διαφύλαττε, τοὺς τελοῦντας νῦν, Σκέπης τῆς σῆς τὴν ἀνάμνησιν.

Σκέπην σε πάντες Παρθένε, οἱ πιστοὶ ἐπιστάμεθα· σκέπασον οὖν πάντας τοὺς προσκαλουμένους ἐκ πίστεως, σοῦ τὸ πανάγιον ὄνομα καὶ λύτρωσαι πάσης θλίψεως, ἐκ τοῦ δεινοῦ πολεμήτορος.

Ο ἐν κόλποις τοῖς πατρῴοις, ἀχωρίστως καθήμενος, σοῦ ἐν ταῖς ἀγκάλαις, κάθηται Παρθένε ὡς νήπιος, καὶ περισκέπεις σὴν ποίμνην θείᾳ Σκέπῃ σου· ἐκ κακώσεων, ἐπιδρομῆς τε ἀλώβητον.

Ἄλλος. Ἐν πνεύματι προβλέπων.

Σὲ πάντες κεκτήμεθα Πανάχραντε Ἁγνὴ, φυλάττουσαν ὅρους σου, καὶ σκέπην καὶ φρουρὸν, καὶ ὁδηγὸν σωτηρίας Ἁγνὴ καὶ τεῖχος· διὸ πρὸς φῶς ὁδήγησον τοὺς σοὶ βοῶντας· δόξα σοι Ἁγνὴ Θεοδόξαστε.

Ο μέγας ἐν Προφήταις προέφησε Δαβὶδ, δόξα πᾶσα ἔσωθεν ἐν σοὶ τῆς θυγατρὸς, τοῦ Βασιλέως καὶ μόνου δυνάστου· αὐτὸς γὰρ σὲ ἔδειξε πάντων ὑπερτέραν, καὶ ἁγιωτέραν τῆς κτίσεως.

Υμνοῦμεν σου τὴν Σκέπην Πανάχραντε σεμνὴ, τὴν σκέπουσαν πάντοτε ἡμᾶς ἐκ τῶν δεινῶν· δικαιοσύνης γὰρ ἥλιον ὡς τεκοῦσα, καταφωτίζεις πάντας βοᾶν σοι πόθῳ· δόξα σοι Ἁγνὴ Θεοδόξαστε.

Τὴν Σκέπην σου τὴν θείαν, τιμῶμεν εὐλαβῶς· συγκαλεῖ γὰρ ἅπαντας ὑμνῆσαι τὰ αὐτῆς τεράστια ξένα, καὶ τὴν πληθὺν χαρισμάτων, ὧν καθεκάστην νέμει τοῖς πᾶσι, δεῦτε πνευματικῶς κατατρυφήσωμεν.

# ΛΟΓΟΣ

## Ἐγκωμιαστικός τε καὶ ὑπομνηματικὸς εἰς τὴν Ὑπέρφωτον Ἀστραποπυρσοχρυσόλαμπον

# ΣΚΕΠΗΝ

## Τῆς Παντανάσσης Δεσποίνης ἡμῶν Θεοτόκου ϗ Ἀειπαρθένου

# ΜΑΡΙΑΣ.

« Καὶ ἐνετείλατο νεφέλην εἰς σκέπην αὐτοῖς. » (ψαλμ. οζ΄.)

Εὐλόγησον Πάτερ.

Νεφέλη τὸ πάλαι καταψύχουσα τὸν καύσωνα τοῦ ἡλίου, καὶ δροσίζουσα τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῇ ἐρήμῳ· « Ἡ νεφέλη γὰρ ἐγένετο σκιάζουσα ἐπ' αὐτοῖς ἡμέρας, ἐν τῷ ἐξαίρειν αὐτοὺς ἐκ τῆς παρεμβολῆς.» (Ἀριθ. κεφ. ά. 34). Αὕτη καὶ τὴν Σκηνὴν τοῦ Μαρτυρίου ἐκάλυπτεν. Ὅτε γὰρ ἀνέβαινεν ἡ νεφέλη ἀπὸ τῆς Σκηνῆς, ἐκίνουν τὴν ὁδοιπορείαν των οἱ Ἰσραηλῖται, ὅτε δὲ κατέβαινεν ἐπ' αὐτὴν, κατέπαυον ἡσυχάζοντες. « Νεφέλη γὰρ Κυρίου ἦν ἐπὶ τῆς Σκηνῆς ἡμέρας, καὶ πῦρ » ἦν ἐπ' αὐτῆς νυκτὸς ἐναντίον παντὸς Ἰσραὴλ, ἐν πάσαις ταῖς » ἀναζυγαῖς αὐτῶν. » (Ἐξόδ. κεφ. μ΄. 36). Καὶ αὐτὰ ἦσαν βέβαια τύπος καὶ σκιὰ τῆς χάριτος τῆς ἀληθείας. Ἀλλ' εὐθέως ὁπου ὁ νοητὸς τῆς δικαιοσύνης ἥλιος Χριστὸς ὁ Θεὸς ἡμῶν ἐξήστραψε τὰς ὑπερλάμπρους ἀκτῖνας τῆς ὑπερφώτου Θεότητος εἰς τὸν νοητὸν τῆς Παρθένου ὡρίωνα, εἰς τὴν ὁλόφωτον λέγω Νύμφην Μαριὰμ τὴν Θεόπαιδα, τότε ἡ ὁλολαμπὴς αὕτη νοητὴ Νεφέλη τοῦ θείου φωτὸς, ἡ διαυγεστάτη Σκηνὴ τοῦ πανσθενουργοῦ θείου Πνεύματος, ἔλαμψε φαεινοτάτην ἀσύγκριτον καθαρότητος αἴγλην, φωτίζουσα, σκέπουσα καὶ περιθάλπουσα τὸν νέον Ἰσραὴλ, καὶ ὁδηγοῦσα πρὸς τὴν ἄνω πορείαν, τὴν φέρουσαν εἰς τὴν ἀληθῶς γῆν τῆς ἐπαγγελίας, τὴν ἀπολιόρκητον



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

γῆν τῶν πραέων. **Βλέπε**, ὦ ἀκροατὰ, τὴν Θεοτόκον ὡς ἔκλαμπρον **Νεφέλην** καὶ **Σκέπην** ἀστραπόμορφον πλημμυροῦσαν τὴν οὐράνιον δρόσον καὶ σκέπουσαν τὸν χριστώνυμον λαὸν, τῆς ὁποίας ἀπὸ τὴν κρυσταλλοειδῆ διαύγειαν ἐπιλάμπει εἰς τὰς ἐννοίας τῶν εὐσεβῶν τὰς ἀμηχάνους θείας ἀκτῖνας. **Καὶ** πῶς νὰ μὴν ἐκφωνῶμεν τοὺς ἐνθέους ὕμνους αὐτῆς; **Ὦ** κλέος τῆς ἀκηράτου παρθενίας αὐτῆς! ὢ ὕψος μυστηρίων παραδόξων, καὶ ἐνθέων θεωριῶν ὑπέρτατον! Θησαυρόν σε τῶν μεγαλείων τοῦ **Πλάστου** κηρύττομεν **Δέσποινα**· κειμήλιον πασῶν τῶν ἀρετῶν νοοῦμεν τὴν φιλοστοργίαν τῆς εὐσπλαγχνίας σου, μὲ τὴν ὁποίαν συγκαταβαίνεις εἰς τῶν εὐτελῶν ἱκετῶν σου τοὺς ὕμνους· λαμπάδα ἡλιόμορφον ὁρῶμέν σε **Παντάνασσα**, φωτίζουσαν λαὸν τὸν ἐν σκότει κείμενον.

**Α**ὕτη λοιπὸν ἡ **Πανύμνητος** τοῦ **Θεοῦ Μήτηρ**, πλουτοῦσα ἐλευθέρως τὴν παῤῥησίαν πρὸς αὐτὸν, ἐκπληροῖ ἀδιστάκτως τὰς αἰτήσεις τῶν δούλων της, ὡς πηγὴ εὐσπλαγχνίας ὑπάρχουσα, καὶ ὡς Θεοῦ **Μήτηρ** πέλουσα, ἐξευμενίζεται τοὺς ὑμνῳδοὺς αὐτῆς, ἀποπληροῦσα τὰ αἰτήματα, καὶ προνοοῦσα τὴν σωτηρίαν ἡμῶν, σκέπει καὶ διαφυλάττει ἡμᾶς ἀβλαβεῖς ἐκ πάσης ἐπηρείας τοῦ ἀντικειμένου. Ἀλλ' ἐπειδὴ ϗ τὸ νὰ ἐγκωμιάζῃ τις τὴν ἀνωτέραν πάσης τῆς κτίσεως καὶ παντὸς ἐγκωμίου ἐπέκεινα εἶναι πάντῃ ἀδύνατον, ἂς ἔλθωμεν εἰς τὴν θαυμαστὴν διήγησιν τῆς ὑψηλῆς θεωρίας, τῆς φεραυγοῦς δηλαδὴκαὶ ἀςραπομόρφου σωστικῆς **Σκέπης** τῆς **Ὑπεράγνου Δεσποίνης** ἡμῶν **Θεοτόκου** καὶ **Ἀειπαρθένου Μαρίας**, ἣν ὁ μέγας τὴν ἀρετὴν **Ἀνδρέας**, ὁ θαυμάσιος νουνεχὴς, ὁ τὸν σαλὸν ὑποκρινόμενος, ἵνα τὸν σοφιστὴν τῆς κακίας κατασοφίσηται, εἶδε, καὶ ἣν κατιδεῖν ἠξιώθη, δι' εὐχῆς αὐτοῦ, καὶ τὸ κατὰ πνεῦμα τέκνον αὐτοῦ, ὁ ἱερὸς, λέγω, **Ἐπιφάνιος**, ὁ διὰ τοῦ Ἀγγελικοῦ σχήματος **Εὐφήμιος** μετωνομασθεὶς, ὁ καὶ **Πατριάρχης Κωνςαντινουπόλεως** μετὰ ταῦτα προχειρισθείς. **(1)**

---

(1) Εὐφήμιος ὁ ἱερὸς μετὰ τὸν Φαυῖτα πατριαρχεύσας, ἐξωρίσθη ἀπὸ τὸν Ἀναστάσιον Δίκορον, μὲ τὸ νὰ μὴ θελήσῃ νὰ ἀποβάλῃ τὴν δ'. Σύνοδον, καὶ νὰ μὴ ἐπιστρέψῃ τὸ γράμμα τῆς ὁμολογίας τῆς πίστεως ὁποῦ ἔδωκεν, ὅτε ἐστέφθη βασιλεὺς ὁ κακόδοξος Ἀναστάσιος.

## ΟΚΤΩΒΡΙΟΥ Α'. ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΣΚΕΠΗΝ
### τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου.

**Μεταφρασθεὶς ἐκ τῆς Σλαβωνικῆς.**

**Εὐλόγησον Πάτερ.**

**Ἐ**ν τοῖς ἐσχάτοις δεινοῖς καιροῖς, ὅτε ἐμπιπλάμεθα ταῖς ἁ-
μαρτίαις ἡμῶν, πληθύνονται ἐφ' ἡμᾶς καὶ οἱ κίνδυνοι, ὥςε
ἐκπληροῦσθαι τὰ ἱερὰ τοῦ **Παύλου** λόγια· « Κινδύνοις λῃστῶν,
» κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει,
» κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευ-
» δαδέλφοις. » Ὅτε ἐκπληροῦνται ἐφ' ἡμᾶς καὶ αὐτοῦ τοῦ Κυ-
ρίου τὰ θεῖα λόγια· « Ἀναστήσεται ἔθνος ἐπὶ ἔθνος, καὶ βασι-
» λεία ἐπὶ βασιλείαν· καὶ ἔσονται λιμοὶ, καὶ λοιμοὶ, καὶ σεισμοὶ
» κατὰ τόπους. » Ὅτε καταθλίβουσιν ἡμᾶς αἱ τῶν ἀλλοφύλων
ἐπιδρομαὶ, οἱ ἐμφύλιοι πόλεμοι, καὶ αἱ θανατηφόροι πληγαὶ, τό-
τε δὴ τότε ἡ **Ὑπερευλογημένη Παρθένος** ἡ **Μήτηρ** τοῦ **Κυρίου**
δίδωσιν ἡμῖν τὴν **Σκέπην** αὐτῆς, ἵνα ἐκ πάντων τῶν κινδύνων
λυτρώσηται ἡμᾶς, ϗ ἵνα ἐκ μὲν τοῦ λιμοῦ, θραύσεώς τε ϗ σεισμοῦ
ὑπερασπισθῇ, ἐκ δὲ τῶν πολέμων καὶ πληγῶν σκεπάσῃ, καὶ δια-
φυλάξῃ ἡμᾶς ἀβλαβεῖς ὑπὸ τὴν **Σκέπην** αὐτῆς, ἧς τινος ἡ ἀπό-
δειξις ἐγένετο ἐν τῇ βασιλευούσῃ **Κωνσταντινουπόλει**, ἐπὶ τῆς
βασιλείας τοῦ εὐσεβεστάτου **Λέοντος** τοῦ **Σοφοῦ**, εἰς τὸν ἐν **Βλα**-
χέρναις λαμπρότατον ναὸν τῆς **Ὑπεραγίας Θεοτόκου**· ὁποῦ
ὁλονυκτίου ὑμνῳδίας τελουμένης ἐν ἡμέρᾳ **Κυριακῇ**, **Ὀκτωβρίου**
πρώτῃ, καὶ πλῆθος λαοῦ παρισταμένου, περὶ τὴν τετάρτην ὥ-
ραν τῆς νυκτὸς ὁ ἅγιος **Ἀνδρέας** ὁ διὰ **Χριστὸν** σαλὸς ἀνυ-
ψώσας τοὺς ὀφθαλμοὺς αὐτοῦ, εἶδε τὴν **Οὐράνιον Ἄνασσαν**, τὴν
**Σκέπην** παντὸς τοῦ κόσμου, τὴν **Ὑπεραγίαν Παρθένον** καὶ **Θεο**-
τόκον, ἱσταμένην ἐν τῷ ἀέρι, καὶ προσευχομένην, καὶ λάμπου-
σαν ὡς ὁ **Ἥλιος**, καὶ σκέπουσαν τὸν λαὸν μὲ τὸ τίμιον αὐτῆς
ὠμόφορον. **Ἰδὼν** δὲ αὐτὴν ὁ ἱερὸς **Ἀνδρέας**, λέγει τῷ μαθητῇ
αὐτοῦ μακαρίῳ **Ἐπιφανίῳ**· βλέπεις ἀδελφὲ τὴν **Βασίλισσαν** καὶ
**Κυρίαν** τῶν ἁπάντων εὐχομένην ὑπὲρ τοῦ κόσμου παντός;
ἀπεκρίθη ἐκεῖνος, ναὶ, βλέπω **Πάτερ** ἅγιε, καὶ ἀπορῶ.

Καθὼς ποτὲ εἶδεν ὁ ἅγιος Ἰωάννης ὁ Θεολόγος ἐν οὐρανοῖς σημεῖον μέγα «Γυναῖκα ἐνδεδυμένην τὸν Ἥλιον», οὕτω καὶ ὁ ἅγιος Ἀνδρέας ἐν τῷ τῶν Βλαχερνῶν οὐρανομόρφῳ ναῷ εἶδε τὴν Ἀνύμφευτον Νύμφην ἐνδεδυμένην ἡλιόμορφον πορφύραν. Τὸ ὑπὸ τοῦ Θεολόγου ὁραθὲν μέγα σημεῖον τὴν πανεύσπλαγχνον Σκέπην ἡμῶν προεικόνιζεν, ὅπερ φανερωθήσεται ἐπὶ τῇ συντελείᾳ ἁπάσης τῆς κτίσεως. « Καὶ ἐγένοντο, λέγει, ἀστραπαί, καὶ φωναί, καὶ βρονταί, καὶ σεισμός, καὶ χάλαζα μεγάλη καὶ σημεῖον μέγα ὤφθη ἐν τῷ Οὐρανῷ, Γυνὴ περιβεβλημένη τὸν Ἥλιον. » Καὶ διὰ τί ἄρα τὸ σημεῖον τὸ τὴν Ὑπεραγίαν Θεοτόκον προεικονίζον οὐκ ἐφανερώθη πρὸ τῶν ἀστραπῶν, καὶ τῶν βροντῶν, καὶ τῶν φωνῶν, καὶ τῶν σεισμῶν, καὶ τῆς χαλάζης, ὁπότε ἅπαντα τὰ στοιχεῖα ἦν εἰρηνεύοντα, ἀλλ' ἐν αὐτῇ τῇ φοβερᾷ τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς ταραχῇ; Ἵνα διὰ τούτου φανερωθῇ, ὅτι ἡ παμμακάριστος καταφυγὴ καὶ ὑπεράσπισις ἡμῶν ἐν αὐτῇ τῇ δεινῇ τοῦ καιροῦ περιστάσει, πλησιαζούσης τῆς καταστροφῆς ἡμῶν, προφθάνει εἰς τὴν ἡμῶν βοήθειαν, καὶ περισκέπει ἡμᾶς ἐκ τῶν ἀστραπῶν τῶν οὐ μακρὰν δελεαζουσῶν ματαίων τοῦ κόσμου ἡδονῶν, ἐκ τῶν φωνῶν τῆς βιωτικῆς ὑπερηφανίας καὶ κενοδοξίας, ἐκ τῶν βροντῶν τῆς ἀπροσδοκήτου τῶν ἐχθρῶν ἐπιδρομῆς, ἐκ τοῦ σεισμοῦ τῶν παθῶν, καὶ ἐκ τῆς χαλάζης τῶν ἄνωθεν κατερχομένων ἐφ' ἡμᾶς διὰ τὰς ἡμῶν ἁμαρτίας τιμωριῶν. Ὁπόταν γὰρ ἅπαντα τὰ ῥηθέντα περιστοιχῶσιν ἡμᾶς δεινά, τότε εὐθέως φανεροῦται ὡς μέγα σειμεῖον ἡ ταχίστη τοῦ γένους τῶν Χριστιανῶν βοήθεια, σκέπουσα ϗ διαφυλάττουσα ἡμᾶς τῇ ἀοράτῳ προστασίᾳ αὐτῆς.

Τοῦτο οὖν τὸ σημεῖον ἔδωκεν ὁ Κύριος τοῖς φοβουμένοις αὐτόν, ὅπως δι' αὐτοῦ ἐκφύγωσιν ἀπὸ προσώπου τόξου· διότι εὑρισκόμεθα ἐν τῷ κόσμῳ τούτῳ ὡς τὸ σημεῖον τὸ τοξευόμενον. Ἵστανται γὰρ ἐφ' ἡμᾶς βέλη πανταχόθεν· τὰ μὲν ἐκ τοῦ τόξου τῶν ὁρατῶν ἐχθρῶν τῶν καυχωμένων ἐφ' ἡμᾶς διὰ τὴν ὑπερηφανείαν αὐτῶν, τὰ δὲ ἐκ τοῦ τόξου τῶν ἀοράτων ἐχθρῶν, ὥστε μὴ δύνασθαι ἡμᾶς ὑπομένειν τὰς διαβολικὰς αὐτῶν προσβολάς, ἄλλα ἐκ τῆς φύσεως τῆς πολεμούσης τὸ πνεῦμα, καὶ ἄλλα ἐκ τῆς τοῦ Θεοῦ δικαίας ὀργῆς, ὑπὲρ ἧς ἔφη καὶ ὁ Προφητάναξ Δαβίδ· « Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει·



» τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό· καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου· τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο. » Ὅθεν ἵνα μὴ θανατηφόρως πληγωθῶμεν τούτοις τοῖς βέλεσιν, ἐδόθη ἡμῖν σημεῖον τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου ἡ Σκέπη τῆς Πανάγνου καὶ Πανυπερευλογημένης Παρθένου, καὶ τῇ Σκέπῃ αὐτῆς ὡς διὰ θυρεοῦ φυλαττόμεθα ἐκ τῶν βελῶν ἀβλαβεῖς. Ἐπειδὴ αὕτη ἡ Προστάτις ἡμῶν ἔχει χιλιάδας θυρεῶν εἰς προφύλαξιν ἡμῶν. Ὅθεν καὶ λέγει πρὸς αὐτὴν τὸ Πνεῦμα τὸ Ἅγιον· « Ὡς πύργος Δαβὶδ τράχηλός σου· χίλιοι θυρεοὶ κρέμανται ἐπ' αὐτόν, πᾶσαι αἱ βολίδες τῶν δυνατῶν.»

Ὁ Προφήτης Δαβὶδ ᾠκοδόμησε ποτὲ τὸν ὡραιότατον καὶ ὑψηλότατον πύργον αὐτοῦ μεταξὺ τῆς Σιὼν τῆς ἐν ὑψηλῷ ὄρει ἱσταμένης καὶ τῆς Ἱερουσαλὴμ τῆς κατωτέρω κειμένης καὶ θυγατέρος Σιὼν ὀνομαζομένης. Καὶ ἦν μεταξὺ αὐτῶν ὁ πύργος ἐκεῖνος ὥσπερ ὁ βραχίων μεταξὺ κεφαλῆς καὶ σώματος, ἐπειδὴ τὴν μὲν Ἱερουσαλὴμ ὑπερέβαινε τῷ ὕψει, τὴν δὲ Σιὼν ἐπλησίαζεν, ἐν αὐτῷ δὲ ἐκρέμαντο οἱ θυρεοὶ καὶ πάντα τὰ ὅπλα τὰ εἰς διαφύλαξιν τῆς Ἱερουσαλήμ. Ὅθεν τὸ Πνεῦμα τὸ ἅγιον προσομοιοῖ τὴν Ὑπέραγνον Παρθένον τῷ πύργῳ τῆς Ἱερουσαλήμ, ἐπειδὴ θυγάτηρ οὖσα τοῦ Προφήτου Δαβίδ, παρίσταται μεταξὺ τοῦ Χριστοῦ τοῦ ὄντος κεφαλὴ τῆς Ἐκκλησίας, καὶ μεταξὺ τῶν πιστῶν τῶν σῶμα ὄντων τῆς Ἐκκλησίας αὐτοῦ, ὑπερκειμένη μὲν τῆς Ἐκκλησίας, ὡς οὖσα ἀληθῶς ἀνωτέρα πάντων, πλησιάζουσα δὲ τῷ Χριστῷ, ὡς δωρησαμένη αὐτῷ τὴν Σάρκα. Παρίσταται δὲ καὶ νῦν ὅτε ἐστάθη ἐν τῷ ἀέρι μεταξὺ Οὐρανοῦ καὶ Γῆς, μεταξὺ Θεοῦ καὶ ἀνθρώπων, μεταξὺ τοῦ ἀγωνοθέτου Χριστοῦ, καὶ τῆς ἀγωνιζομένης Ἐκκλησίας, ὥσπερ ὁ πύργος Δαβὶδ μεταξὺ Σιὼν ϗ Ἱερουσαλήμ, πεπληρωμένη θυρεῶν δυνατῶν (θυρεοὺς δὲ λέγω τὰς πρὸς Θεὸν ὑπὲρ ἡμῶν παντοδυνάμους ἱκεσίας αὐτῆς, τὰς ὑπὸ τῶν ἀξίων ἀκουσθείσας ἐν τῷ καιρῷ τῆς τιμίας αὐτῆς Σκέπης). Εὐχομένη γὰρ θερμῶς ὡς Μήτηρ πρὸς τὸν Υἱὸν καὶ Πλάστην αὐτῆς, τοιαῦτα ἐφθέγγετο ἐν τῇ προσευχῇ αὐτῆς εὔσπλαγχνα καὶ πανελεήμονα λόγια, λέγουσα· « Βασιλεῦ Οὐράνιε, δέξαι πάντα ἄνθρωπον δοξάζοντά σε καὶ ἐπικαλούμενον τὸ Πανάγιόν σου ὄνομα ἐν παντὶ τόπῳ, καὶ τὸν

τόπον, εἰς ὃν ἐκτελεῖται ἡ μνήμη τοῦ ἐμοῦ ὀνόματος, ἁγίασον· καὶ δόξασον τοὺς δοξάζοντάς σε καὶ τιμῶντας ἐμὲ τὴν ἠγαπημένην Μητέρα σου, προσδεχόμενος πάσας τὰς δεήσεις καὶ ἱκεσίας αὐτῶν, καὶ ἀπολυτρῶν αὐτοὺς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.» Αἱ τοιαῦται ἄρα δεήσεις αὐτῆς οὐκ εἰσὶν ὥσπερ θυρεοὶ διαφυλάττοντες τὴν ἀγωνιζομένην Ἐκκλησίαν; ναὶ ἀληθῶς θυρεοὶ ἀήττητοι, ἐν οἷς δυνάμεθα πάντα τὰ πεπυρωμένα βέλη σβέσαι.

Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἀμβρόσιος λέγει διὰ τὸν τοῦ Δαβὶδ πύργον, ὅτι ἐκτίσθη διὰ δύο αἰτίας, ἤγουν διὰ ὑπεράσπισιν καὶ διὰ καλλωπισμὸν τῆς πόλεως· «Ὠκοδόμησε, φησί, πύργον ὁ Δα-» βίδ, ἵν' ἔσται φρουρά, ἅμα δὲ καὶ εὐπρέπεια τῇ πόλει· φρου-» ρὰ μὲν ὡς μακρόθεν ὁρῶν τὸν ἐχθρὸν καὶ ἀποδιώκων αὐτὸν » τῆς πόλεως, εὐπρέπεια δὲ ὡς ὑπερκείμενος τῷ ὕψει ἁπάσας » τὰς ἐν Ἱερουσαλὴμ ὑψηλὰς οἰκοδομάς.» Καὶ λοιπὸν οὐ ματαίως τῷ πύργῳ ἐκείνῳ προσωμοιώθη καὶ ἡ σκέπουσα ἡμᾶς, ἐπειδὴ δι' ἡμᾶς αὕτη εἶναι πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ. Ἀληθῶς γὰρ διαφυλάττει καὶ κοσμεῖ ἡμᾶς· διαφυλάττει μέν, ὅταν τοὺς ὁρατοὺς καὶ ἀοράτους ἐχθροὺς πόῤῥω βάλλῃ ἀφ' ἡμῶν· ὅταν τοὺς αἰχμαλώτους λυτροῦται τῶν δεσμῶν· ὅταν τοὺς τυραννουμένους ὑπὸ τῶν ἀκαθάρτων πνευμάτων ἐλευθεροῖ· ὅταν τοὺς θλιβομένους παραμυθῆται, τοὺς ἀδικουμένους ὑπερασπίζηται, τοὺς πεινασμένους τρέφῃ· ὅταν τοῖς ἐν τρικυμίαις γίνεται λιμήν, καὶ τοὺς ἀσθενεῖς ἐπισκέπτεται. Κοσμεῖ δὲ ἡμᾶς, σκέπουσα ἐνώπιον Θεοῦ τὴν γύμνωσιν τῆς ἀθλίας ἡμῶν ψυχῆς, καὶ τοῖς μὲν ὑψηλοῖς αὐτῆς ὑπουργήμασιν ὡς πολυτίμοις στολαῖς κοσμοῦσα, ταῖς δὲ πολλαῖς χάρισιν, ὡς ἀνεξαλείπτοις θησαυροῖς ἀναπληροῦσα τὴν ἔνδειαν ἡμῶν, εὐαρέστους ἡμᾶς ἀποκαθιστᾷ τῷ Κυρίῳ καὶ Θεῷ ἡμῶν. Κοσμεῖ καὶ στολίζει, ὅταν τοὺς μὴ ἔχοντας τὸ τοῦ γάμου ἔνδυμα περιβάλλῃ τῇ ἱερᾷ αὐτῆς ἐσθῆτι, καὶ ἀπεργάζεται, ὥστε μὴ ὁρᾶσθαι ὑπὸ τοῦ παντεφόρου ὀφθαλμοῦ τὴν αἰσχύνην τῆς ψυχικῆς ἡμῶν γυμνότητος, ἥτις προεικονίσθη ποτὲ διὰ τῆς ἀοράτου καὶ ἀκατασκευάστου γῆς, κεκαλυμμένης οὔσης τότε τοῖς ὕδασιν. Ἡ ἀκατασκεύαστος γὰρ ἐκείνη καὶ ἀόρατος γῆ εἰκὼν ἦν τῆς ἁμαρτωλοῦ ψυχῆς, τῆς



ἀπολεσάσης μὲν τὴν πνευματικὴν αὐτῆς εὐκοσμίαν, ἐνδεοῦς δὲ οὔσης ἔργων ἀγαθῶν, καὶ ξένης μενούσης τῆς θείας χάριτος· τὰ δὲ ὕδατα, τὰ κατακαλύπτοντα τότε τὴν ἀκατασκεύαστον γῆν, προεικόνιζον τὴν εὐσπλαγχνίαν τῆς Θεοτόκου Μαρίας, ὥσπερ θάλασσαν ἀνεξάντλητον, καὶ ποταμοὺς ἀφθόνως εἰς πάντας ἐπιχεομένους καὶ πάντας ἐπικαλύπτοντας. Ἀλλὰ καὶ ὅτε τὸ Πνεῦμα τοῦ Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος, ἑπομένως ἐπεφέρετο καὶ ἐπάνω τῆς ἀκατασκευάστου γῆς, κεκαλυμμένης οὔσης ὑπὸ τῶν ὑδάτων, ὥσπερανεὶ μὴ ἔβλεπε τὴν ἀμορφίαν αὐτῆς, μυστικῶς προεικόνιζεν ὅτι πᾶσα ψυχὴ σκεπομένη ὑπὸ τῆς πανευσπλάγχνου Σκέπης τῆς Ἀειπαρθένου καὶ Θεοτόκου, ὅσον δύσμορφος καὶ ἂν ὑπάρχῃ, δὲν θέλει μείνει ὅμως ἀμέτοχος τῆς τοῦ ἁγίου Πνεύματος χάριτος. Ἐπειδὴ ἡ Σκέπη τῆς Ὑπεραγίας Θεοτόκου θέλει σκεπάσει τὴν ἀμορφίαν αὐτῆς, καθώς ποτε τὰ ὕδατα τὴν ἀπαρασκεύαστον γῆν, καὶ κοσμήσει αὐτὴν τῇ εὐπρεπείᾳ τῆς αὐτῆς χάριτος, ϗ ἑλκύσει ἐπ' αὐτὴν τὸ Πνεῦμα τὸ ἅγιον. Στολίζει ἡμᾶς ἡ Πανάμωμος Κόρη, ὅτε τοὺς ἁμαρτωλοὺς δικαίους, ϗ τοὺς ἀκαθάρτους καθαροὺς ποιεῖ. Ὅθεν καὶ λέγει πρὸς αὐτὴν ὁ ἱερὸς Ἀναστάσιος ὁ Σιναΐτης· «Τοὺς » μὲν μάγους Ἀποστόλους, τοὺς δὲ τελώνας Εὐαγγελιστὰς ἐκ-» τελεῖ, τοὺς δὲ πόρνους μᾶλλον τῶν καθαρωτάτων παρθένων » ἁγνίζει.» Οὕτω τὴν Αἰγυπτίαν Μαρίαν πόρνην οὖσαν τὸ πρότερον, μᾶλλον καθαρωτέραν πολλῶν παρθένων ἀπειργάσατο τανῦν· ὥστε ἡ πρότερον ἐζοφωμένη καὶ ἀκάθαρτος λάμπει ἤδη ἐν τῇ Βασιλείᾳ τοῦ Χριστοῦ ὡς ὁ ἥλιος διὰ πρεσβειῶν τῆς Παναμώμου καὶ Ἀειπαρθένου Μαρίας, ἥτις εἶναι πᾶσι τοῖς πρὸς αὐτὴν προστρέχουσι Σκέπη τε καὶ εὐπρέπεια. Στολίζει πρὸς τούτοις αὐτὴ καὶ ἅπασαν τὴν πνευματικὴν Ἱερουσαλήμ, τὴν Ἐκκλησίαν, λέγω, τοῦ Χριστοῦ, ἥτις ἐν ταύτῃ τῇ ἑορτῇ ψάλλει πρὸς αὐτήν· «Ὦ θαυμαστὴ εὐπρέπεια πάντων τῶν πιστῶν! τῶν Προφητῶν ἐκπλήρωμα, Ἀποστόλων δόξα, Μαρτύρων ἐγκαλλώπισμα, τῆς παρθενίας καύχημα, καὶ παντὸς τοῦ κόσμου πανθαύμαστος Σκέπη!

Ἐν τῷ τοῦ Δαβὶδ πύργῳ ἦσαν σὺν τοῖς θυρεοῖς καὶ πάντα τὰ βέλη τῶν δυνατῶν. Οὗτος δὲ ὁ ἔμψυχος πύργος ἡ Παναχραντος

Παρθένος ἔχει μεθ' ἑαυτῆς βέλη δυνατῶν, δηλαδὴ τὰς ἱκεσίας τῶν σὺν αὐτῇ εὐχομένων Ἁγίων. Ἐπειδὴ οὐχὶ κατὰ μόνας ἐφάνη αὕτη εἰς τὴν Ἐκκλησίαν ἐν τῷ ἀέρι ἱσταμένη, ἀλλὰ μετὰ τῶν Ἀγγελικῶν Δυνάμεων καὶ μετὰ πλήθους λευκοφόρων Ἁγίων εὐλαβῶς ἱσταμένων κύκλῳ αὐτῆς, τῶν ὁποίων αἱ πρὸς Θεὸν ἱκεσίαι εἰσὶν, ὥσπερ βέλη δυνατῶν δυνάμενα ἀποκροῦσαι πάσας τὰς τοῦ ἐχθροῦ παρεμβολάς. Βλέπουσα ἡ Πανάμωμος Δέσποινα ἡμῶν Θεοτόκος, ὅτι πάλη ἐστὶν ἡ ζωὴ ἡμῶν ἐπὶ τῆς γῆς (ἐπειδὴ ὅλαις ταῖς ἑαυτοῦ δυνάμεσι πολεμεῖ ἡμᾶς ὁ ἐχθρός· ἐπλησίασεν ἐφ' ἡμᾶς πάσας τὰς παρεμβολὰς αὐτοῦ, καὶ ἐκύκλωσεν ἡμᾶς πᾶσι τοῖς στρατεύμασιν αὐτοῦ· «Ἐκύκλωσαν ἡμᾶς κύνες πολλοί· συναγωγὴ πονηρευομένων περιέσχον ἡμᾶς· ἤνοιξαν ἐφ' ἡμᾶς τὰ στόματα αὐτῶν ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος·») καὶ θέλουσα βοηθῆσαι ἡμῖν ἡ Οὐράνιος Ἄνασσα, ἐκίνησε κατὰ τοῦ ἐχθροῦ ἡμῶν πάσας τὰς οὐρανίους δυνάμεις, προσεκαλέσατο Προφήτας ϗ Ἀποστόλους, ἐσύναξε Μάρτυρας καὶ παρθένους, συνήγαγεν Ὁσίους τε καὶ Δικαίους, καὶ ἦλθε σὺν αὐτοῖς βοηθῆσαι καὶ περιφρουρῆσαι ἡμᾶς καὶ δοῦναι ἡμῖν τὴν νίκην κατὰ τοῦ ἐχθροῦ ἡμῶν· (δι' αὐτῆς γὰρ ἐγείρονται τρόπαια, καὶ δι' αὐτῆς οἱ ἐχθροὶ ἡμῶν πίπτουσιν). Ἦλθεν οὖν μετὰ τῶν Ἀγγελικῶν Δυνάμεων, ἐπειδὴ εἶναι κλίμαξ προορασθεῖσα ὑπὸ τοῦ Ἰακὼβ, τὴν ὁποίαν Ἀγγελικαὶ Δυνάμεις περικυκλοῦσιν. Ἀλλ' ἐνταῦθα τῆς τοῦ Ἰακὼβ κλίμακος ἐπιμνησθεὶς, δύναταί τις θαυμάζειν, διατί ἄρα οἱ τοῦ Θεοῦ Ἄγγελοι οὐκ εἶχον ἐν αὐτῇ ἀνάπαυσιν, ἀλλ' ἀνέβαινον καὶ κατέβαινον;

Γινωσκέτω οὖν ὁ τοιοῦτος ὅτι ἡ κλίμαξ ἐκείνη ἦν προεικόνισμα τῆς Ἀειπαρθένου Μαρίας, κατὰ τὸ πρὸς αὐτὴν ἐκκλησιαστικὸν λόγιον· «Χαῖρε ἡ γέφυρα πρὸς τοὺς Οὐρανοὺς ἡ μετάγουσα, καὶ Κλίμαξ ἡ μετάρσιος, ἣν ὁ Ἰακὼβ ἐθεάσατο.» Οὐκ ἔχουσι δὲ ἐν αὐτῇ οἱ Ἄγγελοι ἀνάπαυσιν, ἐπειδὴ ἡ ἀκοίμητος ἐν ἱκεσίαις Θεοτόκος προστάζει τοὺς Ἀγγέλους, ἵνα σὺν αὐτῇ ἀκαταπαύστως βοηθῶσι τοῖς ἀνθρώποις, καὶ ἀνερχόμενοι μὲν νὰ ἀναφέρωσι τῷ Θεῷ τὰς εὐχὰς τῶν προσευχομένων, κατερχόμενοι δὲ νὰ καταβιβάζωσι τοῖς ἀνθρώποις τὴν τοῦ Θεοῦ χάριν καὶ δωρεάν.



Ἐκείνη λοιπὸν ἡ Κλίμαξ κατεβίβασε καὶ τώρα πλῆθος Ἀγγέλων μεθ' ἑαυτῆς φέρουσα ἡμῖν ἐξ ὕψους σκέπην τε καὶ βοήθειαν. Ἦλθε μετὰ Ἀγγέλων, ἵνα ἐντέλληται αὐτοῖς τοῦ διαφυλάξαι ἡμᾶς ἐν πάσαις ταῖς ὁδοῖς ἡμῶν, καὶ πάντων τῶν Ἁγίων τὰ τάγματα ἔφερε μεθ' ἑαυτῆς, ὅπως κοινὴν ὑπὲρ ἡμῶν ποιήσωσι δέησιν καὶ συναναφέρῃ κοινῶς καὶ τὰς ἁμαρτωλὰς ἡμῶν προσευχὰς πρὸς τὸν Υἱὸν αὐτῆς καὶ Θεὸν ἡμῶν. Μεταξὺ δὲ πάντων τῶν μετὰ τῆς Θεοτόκου φανερωθέντων ἐν τῇ ἐκκλησίᾳ Ἁγίων ἦσαν δύο λαμπρότεροι, ὁ ἅγιος Ἰωάννης ὁ Πρόδρομος, οὗτινος μείζων οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν, καὶ ὁ ἅγιος Ἰωάννης ὁ Θεολόγος. Τούτους τοὺς δύο ἐκίνησε μεθ' ἑαυτῆς ἡ Προστασία ἡμῶν εἰς ἱκεσίαν ὑπὲρ ἡμῶν, ὡς μεγάλην ἔχοντας τὴν παῤῥησίαν πρὸς τὸν Θεὸν, ἵνα ταχύτερον κάμψῃ τὸν Θεὸν εἰς ἔλεος· «Πολλὰ γὰρ ἰσχύει δέησις δικαίου ἐνεργουμένη». Ἔστη δὲ ἡ Πανάχραντος Παρθένος μεταξὺ δύο Παρθένων, ὥσπερ ἡ Κιβωτὸς μεταξὺ τῶν δύο Χερουβὶμ, καὶ ὥσπερ ὁ Θρόνος τοῦ Κυρίου Σαββαὼθ μεταξὺ τῶν Σεραφὶμ, καὶ ὥσπερ ὁ Μωϋσῆς ἐκτεταμέναις παλάμαις μεταξὺ τοῦ Ἀαρὼν καὶ τοῦ Ὢρ, ὁ δὲ καταχθόνιος Ἀμαλὴκ πίπτει σὺν τῇ ζοφερᾷ αὐτοῦ ἐξουσίᾳ καὶ δυνάμει.

Ἑορτάζομεν οὖν τὴν Σκέπην τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, ἀναμιμνήσκοντες τὴν ἔνδοξον αὐτῆς ἐν Βλαχέρναις φανέρωσιν, τὴν ὁραθεῖσαν ὑπὸ τῶν ἁγίων Ἀνδρέου καὶ Ἐπιφανίου. Ἑορτάζομεν δὲ εὐχαριστοῦντες τῇ Προστάτιδι ἡμῶν διὰ τὴν φανερωθεῖσαν τοιαύτην πρὸς τὸ χριστιανικὸν γένος εὐσπλαγχνίαν αὐτῆς δεόμενοι αὐτῆς ἐκτενῶς, ἵνα καὶ νῦν καὶ πάντοτε εὐσπλάγχνως σκέπῃ ἡμᾶς τοὺς αἰτοῦντας τὴν Σκέπην αὐτῆς· ἐπειδὴ ἄνευ τῆς Σκέπης καὶ βοηθείας αὐτῆς ἀδύνατον ἐστὶν ἡμῖν τοῖς παροργίζουσι τὸν Θεὸν ζῆν ἐπὶ τῆς γῆς. Πολλὰ γὰρ ἁμαρτάνοντες, πολλοῖς ὑποπίπτομεν πειρασμοῖς καὶ ὀδυρμοῖς κατὰ τὸ γεγραμμένον· «Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ». Πρὸ πολλοῦ δ' ἂν ἀπωλώλαμεν διὰ τὰς ἁμαρτίας ἡμῶν, εἰ μὴ ἔσκεπεν ἡμᾶς ἡ Πανεύσπλαγχνος Δέσποινα. Καὶ τῷ ὄντι ἐὰν δὲν ἵστατο ὑπὲρ ἡμῶν προσευχομένη ἡ Προστάτις ἡμῶν, ποῖος ἐλύτρωνεν ἡμᾶς ἐκ τοσούτων κινδύνων; ποῖος ἐφύ-

λαττεν ἡμᾶς ἐλευθέρους μέχρι τῆς σήμερον; Ὁ Προφήτης Ἡσαΐας συμβουλεύει λέγων· « Ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως » ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου »· ἀλλ' ἐκ τῆς ὀργῆς τοῦ Κυρίου ποῦ δυνάμεθα κρυβῆναι; Οὐδαμοῦ εὑρίσκομεν σκέπην οἱ τάλανες προσδραμεῖν, εἰμὴ τὴν Δέσποιναν τοῦ κόσμου, ἥτις δι' ἑαυτὴν λέγει διὰ Πνεύματος Ἁγίου· « Ἐγὼ ὡς ὁμίχλη κατεκάλυψα τὴν γῆν ». Ὑπὸ τὴν Σκέπην λοιπὸν αὐτῆς σκεπασθῶμεν, τῆς ὡς ὁμίχλης καλυπτούσης πᾶσαν τὴν γῆν. Ἀλλ' ὦ Πανυπέρτιμε Παρθένε Θεοτόκε, διατί προσομοιώθης μὲ τοιοῦτον εὐτελὲς πρᾶγμα, τὴν ὁμίχλην; δὲν εἶναι ἄρα διὰ Σὲ εἰς προσομοίωσιν ὁ Ἥλιος, ἡ Σελήνη καὶ τὰ ἄστρα, καθὼς θαμβιτικῶς ἐῤῥέθη περὶ σοῦ· « Τίς αὕτη ἡ ἀναβαίνουσα ὡσεὶ ὄρθρος, καλὴ » ὡς ἡ Σελήνη, ἐκλεκτὴ ὡς ὁ Ἥλιος; » ἡ δὲ ὁμίχλη ὁποίαν εὐπρέπειαν ἔχει, ὥστε προσομοιοῦσθαι αὐτῇ εὐηρεστήθης; Ἡ ὁμίχλη ὁπόταν πληθυνθῇ ἐπὶ τῆς γῆς καὶ ἐπικαλύψῃ αὐτήν, πάντα τὰ θηρία λυτροῦνται τότε τῶν κυνηγῶν. Τοῦτο δέ ἐστι τὸ μυστήριον διατὶ ἡ Ὑπεραγία Θεοτόκος ἐπωνομάσθη ὁμίχλη, ἵνα ἐκ τῶν διωκόντων σκεπάσῃ ἡμᾶς. Ἡμεῖς οἱ ἁμαρτωλοὶ κτήνη ἐσμὲν καὶ θηρία ἕνεκεν τῆς ἀπανθρωπίας ἡμῶν, κατὰ τὴν τοῦ Χρυσοστόμου διάκρισιν, τὴν κοιλίαν εὐχαριστοῦμεν, καθὼς ἡ ἄρκτος, τὸ σῶμα ἐξογκόνομεν ὡς ὁ χοῖρος, μνησικακοῦμεν ὡς ἡ κάμηλος, δολιευόμεθα ὡς ἡ ἀλώπηξ, τὸν ἰὸν τῆς κακίας φέρομεν ὡς ἡ ἔχιδνα. Τοιαῦτα οὖν ὄντες ἡμεῖς θηρία, προφθάνουσιν ἡμᾶς διάφοροι διῶκται· προφθάνει ἡμᾶς ἡ δικαία ὀργὴ τοῦ Θεοῦ ἐκδικοῦσα πάντα τὰ κακὰ ἡμῶν ἐπιτηδεύματα· « Θεὸς » ἐκδικήσεων Κύριος, Θεὸς ἐκδικήσεων ἐπαῤῥησιάσατο· » προφθάνουσιν ἡμᾶς καὶ αἱ ἀνομίαι ἡμῶν ἔφη τις· « Προέφθασάν με » αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνήθην τοῦ βλέπειν· » προφθάνει ἡμᾶς καὶ ὁ ἀόρατος ἐχθρός· « Ἐτάραξεν ἄρκτος ἐνεδρεύουσα, » αὐτός μοι λέων ἐν κρυφαίοις· » προφθάνει ἡμᾶς καὶ ὁ ἀόρατος ἐχθρός· « Εἶπεν ὁ ἐχθρός· διώξας καταλήψομαι· ἀνελῶ τῇ μα- » χαίρα μου· κυριεύσει ἡ χείρ μου ». Ἀλλ' ἂς θαῤῥῶμεν, διότι ἔχομεν τὴν νοητὴν ὁμίχλην σκέπουσαν ἡμᾶς, λέγω τὴν Ὑπεραγίαν Θεοτόκον, εἰς αὐτὴν ἂς ἐλπίσωμεν, πρὸς αὐτὴν ἂς προστρέξωμεν, διότι ὑπὸ τὴν Σκέπην αὐτῆς οὐδὲ θρὶξ ἐκ τῆς κεφαλῆς ἡμῶν ἀπολεῖται.



Ὅθεν ἐν κατανύξει βοήσωμεν, λέγοντες πρὸς αὐτήν· Σκέπασον ἡμᾶς ἐν τῇ Σκέπῃ σου ἡ Προστασία ἡμῶν, Παναγία Παρθένε· ἐν ταῖς ἡμέραις ταῖς πονηραῖς σκέπασον ἡμᾶς. Πᾶσαι γὰρ αἱ ἡμέραι τῆς ζωῆς ἡμῶν πονηραί εἰσι, καθὼς ἔφη ποτε καὶ ὁ τοῦ παλαιοῦ νόμου Ἰακώβ· « Μικραὶ καὶ πονηραὶ γεγό- » νασιν αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου. » Πονηραί εἰσιν αἱ ἡμέραι ἡμῶν, καὶ βλέπομεν ἐν αὐταῖς πονηρὰ καὶ πράττομεν ἐν αὐταῖς πονηρά, θησαυρίζοντες ἑαυτοῖς ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς· ἅπασαι δὲ αἱ πονηραὶ ἐκεῖναι ἡμῶν ἡμέραι χρήζουσι τῆς σῆς πανευσπλάγχνου Σκέπης. Σκέπασον οὖν ἡμᾶς ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν, μάλιστα δὲ ἐν τῇ δεινῇ ἐκείνῃ ἡμέρᾳ, ἐν ᾗ ἡ ψυχὴ ἡμῶν μέλλει τοῦ σώματος χωρισθῆναι, πρόστηθι ἡμῖν εἰς βοήθειαν, καὶ σκέπασον ἡμᾶς ἐκ τῶν ἐναερίων πονηρῶν πνευμάτων· ἀλλὰ καὶ ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, σκέπασον ἡμᾶς ἐν τῇ μυστικῇ σου Σκέπῃ. Ἀμήν.

**ΤΕΛΟΣ.**